Bodleian Libraries
UNIVERSITY OF OXFORD

This book is part of the collection held by the Bodleian Libraries and scanned by Google, Inc. for the Google Books Library Project.

For more information see:

http://www.bodleian.ox.ac.uk/dbooks

This work is licensed under a Creative Commons Attribution-NonCommercial-ShareAlike 2.0 UK: England & Wales (CC BY-NC-SA 2.0) licence.



# THE AZTECS.

## PRÆMIO GAISFORDIANO DONATA.

AUCTORE

GUL. WALLACE,

E COLL. BALL.

*Ἱστορίης ἀπόδεξις ἥδε, ὡς μήτε τὰ γενόμενα ἐξ ἀνθρώπων τῷ χρόνῳ ἐξίτηλα γένηται μήτε ἔργα μεγάλα τε καὶ θωυμαστὰ, τὰ μὲν Ἴβηρσι τὰ δὲ βαρβάροισι ἀποδεχθέντα ἀκλεᾶ γένηται, τά τε ἄλλα καὶ δι' ἣν αἰτίην ἐπολέμησαν ἀλλήλοισι.*

BIBLIOTHECA · BODLEIANA ·

Oxonii:

T. ET G. SHRIMPTON.

1867.

23371. f.1

# ΝΙΚΗ.

Μετὰ δὴ τὸν πρῶτον ἐπ' ἡλίου δυσμὰς καὶ ὕστερον Ἀμερικὴν οὐνομαζομένην χώρην στόλον ἀπικόμενον, ἐγένετο ἐπὶ Μεσσικοὺς Κορτησίου ἔλασις· ἀκμαζόντων γὰρ τῶν Ἰβήρων πρηγμάτων καὶ ὡρμημένων πάντων ἐπὶ ναυτιλίην τε καὶ γῆς ζήτησιν, ἀπέπλωσαν οἵ τε ἄλλοι καὶ δὴ καὶ Κορτήσιος ἐπαερθεὶς λόγοισι τοὺς ἀπηγέοντο οἱ τὰ ἐπέκεινα τοῦ Ὠκεανοῦ θεησάμενοι· τάχα δ' ἂν αὐτὸς ἀσχάλλοι τῇ κατ' οἶκον ἀεργίῃ· ἦν Ἴβηρ μὲν γένος, συνοικιστὴς δὲ τῆς Κούβης. ταύτης δ' ὢν τῆς νήσου ὕπαρχος, ἐπιθυμήσας γῆν ἄλλην βασιλέϊ προσκτήσασθαι καί τι καὶ αὐτὸς κερδῆσαι, τοῦτο μὲν συνέλεξα χεῖρα μεγάλην, τοῦτο δὲ Κορτήσιον ἀπέδεξε τοῦ στόλου στρατηγὸν, δόκιμον ἐόντα ὅμοια τῷ μάλιστα· οὗτος μέν νυν ἐπὶ τὴν ἤπειρον ἐξέπλωσε.

Ὡς δέ φασι οἱ λόγιοι, ἦν ἡ Ἀμερικὴ τὸ πρῶτον Ἀτλαντὶς καλευμένη νῆσος πρὸ τῶν Ἡρακλείων στηλέων κειμένη μαλιστά κῃ· ἥ δὴ φαίνεται πολλῶν τε ἄλλων κρατέουσα νήσων καὶ τῆς ἠπείρου μερέων μέχρι τε Αἰγύπτου καὶ Τυρσηνίης. οἷά τε δὲ λᾶξις Ποσειδέωνος ἐοῦσα πάντα ἀφθόνως παρεῖχε τὰ ἐκ γῆς ἐκφόρια πρὸς χρῆσιν καὶ ἡδονήν· ταύτῃ δή ἔχθρη πρὸς τοὺς ἐν Εὐρώπῃ οἰκημένους μεγάλη συνειστήκεε, συμβαλόντων δὲ οἱ νησιῶται πολλάκις μὲν ἐνίκων, τέλος δὲ πρὸς Ἀθηναίους μεγάλως προσέπταισαν· μετὰ δὲ ταῦτα σεισμῶν τε γενομένων ἐξαισίων καὶ κατακλυσμῶν, συνέβη νυκτὸς μιῆς τὴν Ἀτλαντίδα κατὰ τῆς θαλάσσης δῦσαν ἀφανισθῆναι· ταῦτα μὲν λέγουσι μυθολο-

γέοντες, τεκμηρίῳ δὲ χρέωνται ὡς καταδυσάσης τῆς νήσου κάρτα ἄπορον ἐγένετο τὸ ἐκεῖ πέλαγος.

Μεσσικῆς μέν νυν φύσις τῆς χώρης ἐστὶ τοιήδε· ἔστι δὲ Μεσσικὴ οὔνομα γῆς τὴν τὸ πάλαι οἴκεον Ἀστέκοι, τοῖσι δὴ ἐκλήθη τοῦτο τὸ πεδίον Ἀναχύακα. ταύτης μέν νυν πολλαί τε καὶ ἀλλοῖαι αἱ ὧραι, ἔχει δὲ ἐν ἑωυτῇ πάντα ὅσα ἐκφέρουσι χῶραι πολλὸν ἀλλήλων κεχωρισμέναι, ὥστε πασέων τῶν ἡμεῖς ἴδμεν αὐταρκεστάτη εἰκότως ἂν κληθείη· ἔστι γὰρ κατάγοντι ἡ φύσις τῆς γῆς εὔκαρπος καὶ ἀπονητότατα παρέχουσα ἅ τινα ἐκ τοῦ θερμοῦ αὐξάνεται· ἀπὸ θαλάσσης ἄνω ἰόντι ἄναντές τε τὸ χώριον καὶ ἴδῃσι παντοίῃσι συνηρεφὲς, τῇ που ψυχρότερον ἤδη γίνεται καὶ δὴ καὶ μάλα τερπνὸν πρηϋνομένου τοῦ θέρευς· ἔστι δὲ ἰδέσθαι ὡς ἐν χώρῃ κεχαραδρωμένῃ ἅμα μὲν δρῦς καὶ δένδρεα ὑψηλὰ καὶ Δήμητρος καρπὸν, ἅμα δὲ ἄνθεα ποικιλώτατα· ἡ δὲ κάτω, ἄπεδος ἐοῦσα καὶ ἐνίοτε αὐχμώδης, φοίνικας ἐκφέρει ἀρτοφόρους, ἐκ τῶν σιτία καὶ οἶνον καὶ μέλι ποιεῦνται. ἔπειτα ὑπερβὰς τὰ ὑψηλότατα τῶν οὐρέων, ἔνθα κάρτα ψύχεται, ἥξεις ἐς κοίλην χώρην· τῇ δὲ αὐτὴ ἑωυτῆς μακροτάτη ἐστὶ, στάδιοί εἰσι μάλιστα τετρακόσιοι καὶ ἑξήκοντα· ἡ δὲ γῆ πολλῷ ἄμεινον ἦν ὡς μὲν ἐμοὶ δοκέειν, τὸ πρίν ἐκφέρουσα τοὺς καρποὺς ἤ τὰ νῦν· οἱ γὰρ Ἴβηρες, τῆς χώρης κρατήσαντες, ἐμνήσθησάν κως τῆς πατρίδος, ψιλῆς δενδρέων ἐούσης, καὶ ἦν γὰρ ἐν ἡδονῇ σφι καὶ τὰ φλαῦρα τῆς Ἰβηρίης, πάντα δένδρεα τὰ ἐν τῷ πεδίῳ κατέταμνον τούς τε βασιληΐους παραδείσους· πρὸς δὲ, τὰς λίμνας ἐξήραναν αἳ τὸ πάλαι τὰς ἀρούρας ἄρδεσκον.

Πέφυκε μέν νυν ἡ χώρη αὕτη οὕτω· οἴκεον δὲ ἔθνεα πολλὰ ἐξ ἀνέμου βορέω ἐξαναστάντα· αὐτοὶ γὰρ οὐδὲν ἔχουσι περὶ ἑωυτῶν ἀτρεκέως εἰπεῖν, εἰ μὴ ὅσον οὐναμάζοντες Ἀστλάνην τινὰ ἐν ᾗ κατοικημένοι ἦσαν οἱ πρόγονοι αὐτῶν· καὶ ἐπ' ἐμεῦ

μετεξέτεροι λέγουσι ὑπάρχειν ἐν τῇ ἄνω τῆς Μεσσικῆς πόλιας ἐρήμους, καὶ δὴ καὶ οἰκός ἐστι ἐκείνους τὸ πρὶν νέμεσθαι τὰ προσώτατα τῆς Ἀσίης, προβαίνοντας δὲ ἐς τὴν Ἀμερικὴν ἀπικέσθαι· ταύτην δὲ ὁ λόγος αἱρέει τὸ πρῶτον ἐρῆμον εἶναι, καὶ θηρίων μούνων πληρέα· καὶ αὐτὸς ὁμολογέω, σαφέως εἰδὼς πολλὰ παραπλήσια ἐόντα τούτοισι καὶ τοῖσι ἐν Ἀσίῃ οἰκημένοισι· κατὰ γὰρ τοὺς ἐνιαυτοὺς λογισμῷ χρέωνται οἱ Ἀστέκοι οὐκ ᾧ περ οἱ Ἕλληνες· ἀλλὰ κύκλους ποιέουσι τῶν ἐτέων, ὁ δὲ κύκλος δύναται ἔτεα πεντήκοντα καὶ δυό· τῶν δὲ κύκλων εἰσὶ τέσσερα τὰ μέρεα, τῶν ὡς ἑκάστῳ ἀποδέδεκται ζῷόν τι ἐγγεγλυμμένον· τετελεσμένου δὲ τοῦ κύκλου νόμοισι χρέωνται κεχωρισμένοισι τῶν ἄλλων ἀνθρώπων· κατακλασθέντων σφι ἀγαλμάτων, πυρὸς δὲ ἐν οἰκίοισι κατασβεσθέντος, πανταχοῦ ταραχὴ γίνεται, ὡς ἐπιγενησομένης τοῦ παντός τελευτῆς· εὖτ᾽ ἂν δέ σφι κοπτομένοισι ἡ τελευταίη ἡμέρη γένηται, καὶ καταφερὴς ᾖ ὁ ἥλιος, τῶν ἱρέων πολλοί, δουριάλωτόν τινα εὐγενῆ ἔχοντες, ἐξέρχονται ἐπ᾽ οὖρος μέγα οὐ πολὺ πόρρωθεν· ἐνθαῦτα ἀναμείναντες τὰς πληϊάδας ἀνατεῖλαι, αὐτὸν θύουσί τε καὶ πῦρ ἐκ τριβῆς ποιέοντες κατακαίουσι· ἐκ δὲ τοῦ πυρὸς τούτου πάντα τινὰ χρῆ τὸ ἑωυτοῦ ὑπῆψαι, κώμοισι καὶ χόροισι χρεώμενον καὶ ἐν θαλίῃσι ἐόντα· οὕτω μέν νυν ἔτεϊ ἑκάστῳ ζῷον γίνεται ἴδιον· οἶδα δὲ καὶ αὐτὸς ἄλλα τε ἔθνεα καὶ τοὺς Σκύθας παραπλησίοισι νόμοισι χρεωμένους· λέγουσι δ᾽ ἄνδρες ἔμποροι, ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες ἄλλῳ δὲ τέῳ ὡς εἴσι κῃ οἰκημένοι ἄνθρωποί τινες, περικεκληϊμένοι οὔρεσι παντόθεν, ἐν τοῖσι ἔτι σώζεται ἡ γλῶσσα καὶ τὰ ἱρὰ τά τῶν προγεγενημένων.

**Πρῶτοι** μέν νυν ἐκ βορέεω κατέβαινον Τολτέκοι ἐκ πλέονος χρόνου οὐδαμῶς ἀσφαλέως οἰκημένοι· ὑπὸ δὲ τούτων ἐδεδμήατο οἰκήματά τε ἄλλα, ἐν δὲ δὴ Τούλη ἐπεπόλιστο, ἔνθα βασιλεὺς δίαιταν ἐποιέετο· εἰ δὲ εἰρωτῴης οἵ τινες εἴησαν οἱ

*οἰκήματα τάδε ποιήσαντες, δεικνὺς δὴ πρὸς τείχεα ὑπὸ χρόνου τὸ πλέον ἤδη κείμενα, μάθοις ἂν Τολτέκους γενέσθαι τοὺς ταῦτα ἐργασμένους· ὅκως δὲ ἀρχιτέκτονα σημανέειν ἐθέλοι τις, Τολτέκον φὰς λέγοι ἄν. Πόλιες γῶν Κωπάνη καὶ Μίτλα καὶ Παλένκη ἔτι ἐπ᾽ ἐμεῦ περιῆσαν, πυραμίδων τε πολλῶν ἐνουσέων καὶ κολοσσῶν μεγαλῶν σὺν τύποισι ἐγγεγλυμμένοισι· τὸ δὲ σχῆμα τῆς κεφαλῆς τῇσι εἰκόσι ταύτῃσι πολλὸν ἀπηλλαγμένον ἐστί τοῦ παρ᾽ ἡμῖν· τῶν δὲ βασιληΐων τὰ προπύλαια τύποισι ἐσκεύαδαται ἀξίοισι λόγου· ἡ δὲ τῶν πυραμίδων κατάστασις ἥδε· γῆς πολλῆς ὕψου ἐκκεχωσμένης ἐν τῷ ἄνω ἔπεστι οἰκήματα ἱρα· οἱ δ᾽ ὦν Τολτέκοι ἐξίτηλοι ἐγένοντο, ὅτεῳ δὲ τρόπῳ οὐχ ἔχω εἰπεῖν, ἀλλὰ λέγεται ὡς λοιμῷ τε καὶ λιμῷ συστάντες οἴχοντο.*

*Ἐς δὲ τὴν χώρην ἀνδρῶν ἐρημωθεῖσαν ἐσέβαλλε ἔθνος ἄγριον, τῷ οὔνομα κεέται Κικιμμέκοι· προσκεχωρηκότων δὲ αὐτοῖσι ἐνίων τῶν πρότερον ἐνοικεόντων, μάλιστα ἐς πλῆθος αὐξήθησαν· ἐπί δὲ τούτων συνηνείχθη πρῆγμα τοιόνδε γενέσθαι. ἱκνεῦνται ἐς βασιλέα ἄνδρες ἕξ, ἱζόμενοι δὲ κατὰ τὰς βασιληΐας ἱστίας ἐδέοντο ἅμα αὐτοῖσι οἰκέειν, μοῖράν τε τιμεών μετέχοντες καὶ τῆς γῆς ἀπολαχόντες· οὗτοι δὲ ἦσαν Ἀκολλυανῶν ἄγγελοι, τοῖσι καὶ ἔστι οὔνομα Τεσκουκανοί· αὐτῷ δὲ ἕαδε βουλευσαμένῳ ἐκείνους μὲν δεκεσθαὶ, δεξάμενος δὲ γῆς τε μετέδωκε καὶ τοῖσι τυράννοισι αὐτῶν τὰς ἑωυτοῦ δύο θυγατέρας ἔδωκε γῆμαι. οὕτω μὲν οἱ Κικιμμέκοι ἡμερώτεροι γεγονότες, ἤρχοντο ἐς τὸ μᾶλλον Ἀκολλυανοὶ καλεῖσθαι· οἷα δὲ πλήθεϊ οὐκ ὀλίγων ἀνδρῶν, κατυπέρτεροι τῷ πολέμῳ ἐγένοντο τῶν περιοικίδων πολίων, αὐτίκα δὲ ἀνά τ᾽ ἔδραμον καὶ εὐθηνήθησαν·*

*Ἐνέμοντο τὴν πρὸς βορεέω ἐπὶ γενεὰς πρίν ἢ τὴν Μεσσικῶνα ὑπὸ Κορτησίου ἡλῶναι, ἕνδεκα ἀνδρῶν, Ἀστέκοι· ἐξ ἠθέων δὲ ἀναστάντες πολλὰ ἔτεα καὶ κάρτα ἐπλανέωντο, στασιάζοντες περὶ τῶν θείων*

μάλιστα πάντων τῶν ἡμεῖς ἴδμεν, τέλος δὲ ἐξανδραποδίσθησαν ὑπὸ Κολλυανῶν· πρὸς δὲ ταῦτα γενομένης Κολλυανοῖσι μάχης πρὸς τοὺς πλήσιον, ἐπέι τε ἔμελλον ἑσσοῦσθαι, τοὺς Ἀστέκους παρέκαλεον, οἱ δὲ ἀκοντίοισι χρεώμενοι ἐπικαύτοισι, μαχαίρας τε ἀπὸ λίθου πεποιημένας ἔχοντες, ἄνδρες ἐγένοντο ἀγαθοί· ἔστι δέ σφι νόμος μαχομένοισι ὅδε· ἀποτάμνουσι τῶν ἀντιξόων ὦτα· οὗτοι μὲν νικῶσι, μετὰ δὲ τοιάδε συνέβη γίνεσθαι· ἐώθασι γάρ πάντας τοὺς ἂν ζωγρήσωσι τῷ θεῷ καταθύειν· προάγουσι ὦν τοῖσι προσεκέετο αὕτη ἡ ἄχαρις τιμὴ τὸν ζωγρηθέντα, σκευῇ πολυτελέϊ κεκοσμημένον, μετὰ δὲ ἐπὶ πέτρης κυκλοτερέος ὕπτιον διατείναντες, λίθῳ τε ὀξέϊ παρασχίσαντες παρὰ τὸ ἀριστερὸν τῶν πλευρῶν ἐξ ὦν αἱρέουσι τὴν καρδίην ἀσπαίρουσαν, ἐξελόντες δὲ ἔμπροσθε τοῦ ἀγάλματος καταβάλλουσι· οὕτω μὲν ὦν διαχρέωνται τοὺς ἂν ἑλῶσι, τὸν θεὸν ἱλασκόμενοι· θεοὺς μὲν τούσδε ἱλάσκονται, Ἄρεα μὲν μάλιστα, ἐπὶ δὲ Δία τε καὶ Ἀπόλλωνα, νομίζοντες αὐτὸν τῆς γῆς εἶναι δημιουργὸν, μετὰ δὲ τούτους τοῦ ἠέρος Δαίμονα· τούτους μὲν νενομίκασι, ἀγάλματα δὲ καὶ βωμοὺς νομίζουσι μάλιστα ποιέειν τῷ Ἄρεϊ· τούτῳ ἐν πόλι πάσῃ ἱρὸν ἵδρυται, πεποιημένον ὥσπερ αἱ ἐν Ἀσσυρίῃ πυραμίδες, ἀναβαθμῶν τρόπον μεγίστων· ἔστι δὲ ὧδε· πύργος στερεὸς οἰκοδόμηται, τοῦ τὸ μὲν ἔσω ἐστὶ γῆς χῶμα μέγα, τὸ δὲ ἔξω ἐγκληΐει λίθος ἐρυθρὸς ἢ καὶ πλίνθος, πλέθρου μὲν ὡς ἐπὶ πᾶν τὸ μῆκος καὶ τὸ εὖρος, καὶ μέζον καὶ ἔλασσον, ἐπὶ δὲ τούτῳ τῷ πύργῳ ἄλλος πύργος ἐπιβέβηκε καὶ ἕτερος μάλα ἐπὶ τούτῳ, μέχρι οὗ τεσσέρων ἢ πέντε πύργων. ἀνάβασις δὲ ἐς αὐτοὺς ἔξωθεν, δὶ ἀναβαθμῶν ἐν τῇ γωνίῃ τοῦ πύργου ἐσέχει, ἀναβάντι δὲ καὶ τὸν πρῶτον κύκλῳ περιϊόντι ἔστι κατὰ τωὐτὸ ἐς ἄλλον ἀναβῆναι, οὕτω δὲ ἐπὶ τὸν τελευταῖον, ἐν ᾧ νηὸς μὲν ἔπεστι μέγας, τὤγαλμα τοῦ θεοῦ ἐνιδρυμένον ἔχων, κατενάντιος δὲ λίθος κέεται

ὁ ἱρὸς· καὶ δύο βωμοὶ παριστέαται ἐπὶ τοῖσι οἱ ἱρέες πῦρ αἰεὶ ἀνακαίουσι. ταῦτα δὴ τότε πρησσόντων, εἶδε γὰρ παρεὼν ὁ βασιλεὺς τῶν Κολλυανῶν, δεινόν τε ποιεύμενος καὶ ἐπιφθονέων τῇ πρήξι ἔλεξε φάς· Ὦ μιαιφονώτατοι πάντων, ἔξιτε τὴν ταχίστην, ποιήσαντες ἔργα ἀνόσιά τε καὶ ἀνάξια ἡμέων· χάριν τε ἴστε ἐοντες κακοῦ ἀπαθέες· οἱ δὲ ἐξελθόντες μετὰ οὐ πολλὸν χρόνον ἐς λίμνην μεγάλην ἱκνεῦνται, ἔνθα δὴ στρατοπεδευομένοισί σφι ἐγένετο τέρας τοιόνδε· ἄχερδον ἐθηεῦντο ἐκ πέτρης πρὸς λίμνῃ ἑστεώσης πεφυκῦιαν, ἐπί δε αἰετὸν μέγαν τε καὶ εὐειδέα, ὅς ἐν ὄνυξι ὄφιν ἔμαρψε, τὰ πτερὰ πρὸς τὸν ἥλιον ἀναπεπταμένος· τοῦτο οἱ ἄνδρες δεκόμενοι εὐθὺς ὡρμεάτο πόλιν αὐτοῦ ταύτῃ κτίσαι· ἦν δὲ αὕτη νῆσος, περὶ ἣν τενάγεα ἦν, ἐς ὃ σταυροὺς ἐν τῇ λίμνῃ στήσαντες τῇ μεγίστῃ τῶν νήσων πολλὰς ἐλάσσονας ἔζευξαν, τὰς διαστάσιας λίθων στοιβάζοντες καὶ γῆν χώσαντες· ἐπὶ τούτοισι δὲ ὑπεστεῶσι ἔδειμαν καλύβας καλαμίνας· νήσους δὲ πλωτὰς χειροποιήτους ἐν τῇ λίμνῃ ἐφύτευον, ἰλὺν συμφορήσαντες, ἐν τῇσι δὴ ἐμπέφυκε ἄνθεά τε καὶ δένδρεα σμικρά· καὶ ἀπὸ πετεινῶν τήν ζόην ἐποιεῦντο, ἐκ τῆς δὲ λίμνης ἰχθῦς ἀνέσπων· τούτων μέν νυν πέρι τοσαῦτα εἰρήσθω ὅκως τὴν πόλιν ἔκτισαν οἱ Ἀστεκοί, τῇ οὔνομα ἦν τὸ πρότερον Τενοχτιτελάνη, νῦν δὲ Μεσσικῶνα Ἴβηρες μετουνόμασαν.

Ἐπὶ πολῦ μέν ὦν στάσις ἐνῆν ἔμφυλος, ἐς ὅ δυναστευόντων τὸ πρὶν εἴκοσι τῶν Παχέων, μετέβαλον ἐς βασιληΐην, ἐξ οὗ μᾶλλον ἤδη τοῦ λοιποῦ προυχώρεον· βασιλέα δὲ τὸν ἂν στήσωνται ἱστᾶσι οὐ κατὰ γένος μοῦνον, ἀλλ' ἐπιλεξάμενοι ἐκ τῆς βασιληΐης οἰκίης τὸν ἂν μάλιστα κατ' ἀνδραγαθίην ἱκνευμένως ἀρχὴν ἔχειν νομίζωσι· οὗτοι δ' ἂν εἴησαν ἀδελφεοὶ τοῦ ἀποθανόντος βασιλέος μᾶλλον ἢ οὐ καὶ οἱ υἱέες· ἀλλὰ καὶ δι' ἀδυναμίης, ἑωυτοῖσι προσεταιρίζονται τὸν βασιλέα τῶν Ἀκολ-

λυανῶν, τὴν ἡγεμονίην αὐτοῦ στέρξαντες. οὗτοι μέν νυν οὕτω κατείχοντο, χρόνῳ δὲ μετέπειτεν τοῦτο μὲν συνέβη Τεσκουκανοῖσι ὑπὸ τῶν Τεπανέκων ἑσσοῦσθαι, τοῦτο δὲ Ἀστέκοι Τεσκουκανῶν ἀποστάντες ὑπῆρχον ἀδικεόντες· τῶν δὴ ὁ βασιλεύς, γενομένης συμβολῆς, ἐς ἀπορίην κατειλημένος ἀποφεύγει, μετὰ δὲ ἐς λόγους τῷ πολεμίῳ ἀπικνεύμενος δόλῳ μὲν αὐτὸς ἀποθνήσκει, υἱὸς δὲ δείσας ἐς τὴν ὕλην καταδύνει. οἱ δὲ Ἀστέκοι ἐν λόγῳ ἦσαν παρὰ τοῖσι Τεπανέκοισι ἐς ὅ τελευτήσαντός σφι τοῦ βασιλέος, παρέλαβε τὴν βασιληΐην Μαξάτλης ἐκ τοῦ πρώτου ἀρχὴ κακῶν ἐγένετο τῷ δήμῳ καὶ τοῖσι βασιλεῦσι· ὁ γὰρ Μαξάτλης ἐδυνάστευε πολλὸν ἀγαυρότερον, τὸν δὲ βασιλεὰ Ἀστέκων δεινῶς ἐλυμαίνετο καί μιν ληφθέντα ἐν γοργύρῃ ξυλίνῃ κατέδησε· τοῦτον μὲν δὴ συμφορὴ ἐπίεσε, τὸν δὲ τοῦ πρότερον βασιλεύσαντος τῶν Τεσκουκανῶν παῖδα, τῷ δὴ ἐπωνυμίη ἐτέθη Πεινήλυκος, πρῶτον μὲν ἐπιτρέψας παιδαγωγῷ πατρωΐῳ, τέλος ἐξεδίωκε, καταπειλήσας ὡς εἴ μιν ζῶντα λάμψεται οὐκέτι ἐνδοιάστως καταφονεύσει· ἐς τοσοῦτο ὕβριος ἐβεβήκεε ὁ Μαξάτλης· καί κως τὸν παιδαγωγὸν ἐπιβουλεύων ὁ Μαξάτλης οὐκ ἐλάνθανε, ἀλλά οἱ τοῦτ᾽ ἦν ἐπιμελές· ὑποθεμένου δὲ τούτου, δι᾽ αὐλῶνος ἐκφεύγει καταγαίου ὁ Τεσκουκανὸς, φυγόντα δὲ τῷ ἀποκτείνοντί μιν ἄεθλον προτιθεῖ ὁ Μαξάτλης γυναῖκά τε εὐειδέα καὶ λᾶξιν γῆς μεγάλην· ὁ δὲ ἐν τοῖσι οὔρεσι εἶχε δίαιταν χαλεπὴν, ἀνὰ χρόνον δὲ οἱ πλανεωμένῳ ἐπεί τε ἐδόκεε παραυτίκα λαμφθήσεσθαι, συνέβη παρθένου κυρῆσαι χιᾶνον ταμνούσης· τὸ δὲ χιᾶνον ἔστι τῇ κριθῇ ἐμφερές, ἀπὸ τοῦ πόμα τι ποιεῦνται· ἀντιάσας ὦν αὐτὴν ἐλίσσετο ὑπὸ τοῖσι καλάμοισί μιν κατακρύψαι· τῇ δὲ ταῦτα πρηξάσῃ ἐπεγένοντο ἄνδρες τὸν Τεσκουκανὸν διώκοντες, τοῖσι δὴ εἰρωτέουσι εἰ τὸν ἄνδρα ἑώρακε, οὐκ ἔξαρνος ἦν, ἀλλὰ

φάσκει ἰδεῖν, ἐπὶ δὲ εὖ διαβάλλει, δεικνῦσα ᾗ δῆθεν ἀπαλλάσσετο ἐκεῖνος· ἡ μὲν οὕτω μιν ἐσάωσε, τέλος δὲ τῷ δήμῳ τῇ τυραννίδι ταύτῃ ἀγαιομένῳ ἵμερος ἐνέστακτο τῶν πρότερον βασιλευόντων, καὶ δὴ καὶ Ἀστέκοι ἐφαίνοντο συμπρήκτορες γινόμενοι προθύμως, ὥστε διὰ μάχης ἐλθόντες οἱ Τεπανέκοι πάντως ἐσσώθησαν, Ἀστέκοι δὲ ἐπεκράτεον πολλῷ πλέον ἢ αἱ ἄλλαι πόλις· διὸ σύμμαχοι γίνονται Μεσσικῶν καὶ Τεσκουκῶν καὶ Τλακωπάνη νόμοισι τοισίδε χρεώμεναι· βοηθέειν τῇ ἀλλήλων δηλεομένῃ καὶ κατὰ λόγον ῥητὸν τὴν ληΐην διαδάσασθαι.

Οὗτοι μέν νυν ἐλευθερώθησαν, ὁ δὲ Πεινήλυκος τὴν βασιληΐην ἀναλαβὼν κτεῖναι μέν οὐκ ἐδικαίωσε τοὺς ἐθελοκακέοντας, κατὰ σοφίην δὲ εὐδοκιμήσας τότε καὶ μᾶλλον ἐν αἴνῃ ἐγένετο. τοῦ τὰ μὲν ἄλλα ἐῶ, τὰ δι' μάλιστα ἄξιως ἀπηγήσιος ἐρρήθη, ταῦτα ἐπιμνησθήσομαι· ἐὼν γὰρ ἰσχυρὸς ἀπαγορεύων μὴ ἅπτεσθαι τῆς βασιληΐης ὕλης, ἐπεὶ παῖδα ὥρα φρύγανα ἐν τῇσι ὁδοῖσι συλλέγοντα, αὐτὸν ἐνῆγε ἐς τὴν ὕλην ἐσελθεῖν, εὐπετὲς γὰρ εἶναι καὶ κεῖσθαι ἄφθονα. ὁ δὲ οὐκ ἐδέξατο τὰ ῥηθέντα, λέγων ἐκεῖνον ἀνομίην συντίθεσθαι, κελεύοντα ψαῦσαι τῶν νόμος ἔξεργε· ὁ μὲν οὕτω τὸν λόγον ἀπεμάχετο, βασιλέϊ δὲ εἰρωτέοντι ὁκοῖός τίς ἐστι ὁ ἀπαγορεύων, κατέλεξε τὴν τρηχεῖαν ἐπιμέλειαν τῶν κοινῶν. ὁ δὲ ἐπεί τε μετεπέμψατο τοὺς γονέας τοῦ παιδὸς, αὐτοὺς ἐμακάρισε οἵου τέκνου ἐκύρησαν, καί τι καὶ εὐεργετήσας οὕτω τὸν νόμον ἔλυσε. λέγουσι μέντοι ἀμφὶ αὐτῷ ἔργον ἀνόσιον τοιόνδε· ἀπικόμενόν μιν ἐς ἀνδρὸς δοκίμου ἤδη γεραιτέρου ἐόντος, καὶ ἰδόντα πάρθενόν τινα καλὴν τὴν ἁρμόσασθαι ἑαυτῷ τὸν ξεῖνον, ἐρᾶν μεν ἐκείνης, ἐρῶντα δὲ, ὡς οὐκ ὅσιον εἶναι ἐκ τῆς ἰθέης ἁρπάσαι, στεῖλαι ἄνδρας ἐντειλαμένους ἐκείνῳ στρατηλασίην ποιέεσθαι ἐπὶ τοὺς Τλασκαλανοὺς, πρόφασιν μὲν ὥς σφεας τιμωρέεσθαι, ἔργῳ

*δὲ ἐπὶ θανάτῳ προδιδόντα, τὸν δὲ ὑπονώσαντα τὴν ἐπιχείρησιν ὅμως στρατεύεσθαι, στρατευσάμενον δὲ συμφορῇ κατέχεσθαι ἀνεθελήτῳ· ἐπεί τε δέ μιν οὕτω κατεργάσθαι, μετὰ οὐ πολλὸν χρόνον γάμον ἑωυτῷ συστῆσαι Πεινήλυκον· ἀλλ' ἐούσης οἱ καταθυμίης τῆς γυναικὸς ταύτης παῖδες οὐκ ἐγένοντο· δι' ὅ οἱ πάρεδροι παραίνεον θύειν ἀνθρώπους, ὡς φθονεόντων οἱ τῶν θεῶν· ταῦτά κῃ λεγόντων, τέλος ἐνεδίδου ὁ βασιλεύς, ἀλλ' οὐ γὰρ πλέον οἱ ἐγένετο, λέγεται δή μιν νηστεύοντά κοτε ἐπελθεῖν ὕπνον, καὶ οἱ δόξαι ἐν τῇ ὄψι ἐπιστάντα τὸν θεὸν θαρσύνειν· διὸ θυμιήματά τε καταγίζοντι καὶ δὴ καὶ εὐχωλὰς ἐπιτελεόντι, οἱ κατὰ νόον ἐγένετο· πρὸς τοῦτο δὴ νηὸν ἀνέθηκε τῷ ἀγνώστῳ θεῷ, τὸν ἐκέλευσε πάντα τινὰ ἄνθεσι νομίζειν.*

*Κατὰ μὲν ὦν εὐνομίην, νόμους ἰσχυρῶς περιέστελλε, ζημίην ἐπιτιθεὶς θάνατον ὁμοίως μεγίστῳ καὶ ἐλαχίστῳ ἀδικήματι· δίκας δὲ ἔστησε τῶν τε ἄλλων καὶ εἴ τινες τὰ γράμματα ἐπασκέοντο, τούτους ψευδομένους θανάτῳ ἐζημίου· περὶ δὲ τῶν γραμμάτων ὧδε ἔχει· ἔστι ζῷα ἐγγεγλυμμένα ἐν τοῖσι βιβλίοισι, τὰ δὴ εἰκόνες εἰσὶ τῶν ἀποδεχθέντων, ἀμαθέστερόν κως τῶν Αἰγυπτίων γεγραμμέναι· ἦν δὲ τὸ δικαστήριον τοῦτο καὶ περὶ γραμμάτων κρίσιν ποιέεσθαι φερέγγυον, πρὸς δέ, τοῖσι ἀμαθιήν ὀφλοῦσι ζημίην ἐπεθήκατο, τοὺς δὲ σοφίης εἵνεκεν ἐξαραιρημένους ἐτίμησε μεγαλῶς· καὶ μουσικὸν ἄγουσι ἀγῶνα ἐν ᾧ μουσοποιοὶ τέχνην τὴν σφέων αὐτῶν ἀποδεξάμενοι, τὴν ἀξίην ἐδέξαντο, ἐν δὲ δὴ ὁ βασιλεὺς τῷ ἀείσματι ἐπεῖχέ τι ἐλλάμψεσθαι· γνώμην δὲ ἀπεφήνατο ὡς συμφορέων πληρής ἐστι ὁ ἀνθρωπήϊος βίος, λέγων τοιάδε· Κύκλος ἐστὶ τῶν ἀνθρωπηΐων πρηγμάτων, τοὺς δὲ νῦν ἐν εὐπαθείῃσι ἐόντας καταλελαβήκε ἐν περιτροπῇ ἐσσωθῆναί τε καὶ ὑπὸ γῆς καταδῦναι, ὡς ταφῆς ἁπάντων ἐούσης· ποτάμους γὰρ καὶ χειμάρρους ἐόντας ἴδοις ἂν ἐπὶ τὸ πέρας σπεύδεσθαι, οὐδ' ἔξεστι ἑνί γε ἐπὶ*

τὰς πηγὰς ἐπανελθεῖν· τῶν δὲ οἰχομένων οὐδ' ἂν ἔχοι τις λόγον ἄλλον δέκεσθαι, ὅτι μὴ τοὺς λογίους ἐρευνῶν· ὅπερ καὶ ἡμῖν ἐπικέεται παθεῖν, καὶ τοῖσι ἐσύστερον· ὅμως δὲ χρὴ ἐν φροντίδι λαβεῖν τὰ μετὰ θάνατον κάλλιστα γινόμενα· διὰ θανάτου γὰρ στυγεροῦ τὸ νῦν εἶναι ἐόντος ἥκομεν ἐς τὸν ἥλιον καὶ τοὺς ἀστέρας· ταῦτα μὲν φάμενος ἐσήμηνε ὡς τοῖσι θανοῦσι δώματα παρέσται ἐν οὐρανῷ· οἱ δὲ ἱρέες ἔλεγον περὶ τῶν ἐκεῖ ὡς εἰσὶ χῶροι τριφάσιοι· τοῖσι μὲν ἀποδεδέχθαι ἐν σκότεϊ αἰεὶ μένοντας ἐπιτίμια ἐκτίνειν τῶν ἐνθάδε ἀδικημάτων· ἑτέρους δὲ διὰ νούσους τινὰς οὕτω προκριθέντας ῥᾳθυμιής πλείστης λαχεῖν· τριτοὺς δὲ τοὺς ἐν μάχῃ πεσόντας ἢ τυθέντας ἐς τὸν ἥλιον ἱκνέεσθαι, ἐνθεῦτεν δὲ τούτων τὰς ψυχὰς ἔς τε νέφεα καὶ τά κάλλιστα πετεινὰ ἐσδυομένας κατὰ τοὺς ἐκεῖ κήπους στρωφᾶσθαι.

Βιώσας ὦν δὴ ἔτεα μάλιστα ἐξήκοντα ὁ Πεινήλυκος, ὡς ἔμελλε ἀποθανεῖν, συγκαλεσὰς ἐς ὄψιν τοὺς μάλιστα προσήκοντας, καὶ δὴ καὶ τὸν υἱὸν, τὸν ἔδεε μετ' αὐτὸν βασιλεῦσαι, ἔτεα ὀκτὼ γεγονότα ἤδη, εἶπε τάδε· Ὦ παῖ, σοὶ γὰρ παραδίδωμι τὴν βασιληΐην, ὅκως μὴ ἐν ἀλογίῃ ἔχῃς τὸν ἄγνωστον Θεὸν, ἐκ τοῦ ζόην πάντες ἔχομεν· ἔλπομαι δὲ διεξελθόντος χρόνου οὐ πολλοῦ πάντας αὐτὸν τιμήσειν· νῦν δὲ τῷ σῷ ἀδελφεῷ σε ἐπιτρέπω· τῷ δὲ παιδὶ τούτῳ ἔφη· περὶ σεῦ μὲν πίστιν ἔχω βέβαιον· ἴσθι δὴ ἀντὶ πατρὸς τῷ σῷ ἀδελφεῷ πᾶσαν ἐπιμέλειαν παρέχων· ἐκ σέο γὰρ ἄρτηται πάντα τὰ πρήγματα τὰ ἐκείνου· κατέβαινε δὲ τάδε λέγων ἐς τοὺς παρεόντας· Τελευτήσαντος ἐμεῦ, μὴ μέγα πένθος ποιήσησθε, ἀλλὰ θαρσέοντες νόμον τὸν ὄρθιον διεξέλθετε, ἵνα τὰ ἔθνεα τὰ ὑπ' ἐμοῦ κατεστραμμένα ἐλπίδος μεγαλωστὶ ψευσθῶσι, εἴ περ ἄρα πάντες ὡς δοκέειν ἐμοὶ, κατ' ὑμέων ἀθυμίην κατέγνωσαν, ὑμεῖς δὲ μηδὲν μαλακὸν ἐνδόντες φαίνεσθε· τέλος δὲ ἐξιόντων τῶν ἄλλων, δακρύσας καὶ αὐτὸς οἷά τε φίλων ἀπεστερημένος, ἐτελεύτα· οὗτος

μὲν ἐτεθνήκεε, ὁ δὲ παῖς ἐν οὐ πολλὸν ἔσσονι λόγῳ γέγονε, ἀγνωμοσύνῃ μέντοι χρεώμενος καὶ δὴ καὶ τὴν ἡσυχίην ἀσπαζόμενος ἀπέβαλε τοὺς ὁ πατὴρ κατεστρέψατο, ὁ δὲ βασιλεὺς Ἀστέκων δόλῳ τε καὶ βίῃ δύνατος γίνεται οἷον οὐδεὶς τῶν προγεγενημένων.

Κατὰ δὲ τὸν χρόνον τοῦτον ἐξεδέξατο τὴν βασιληΐην Μοντεζούμης, ὅς, βουλόμενος παρασκευῇ εὐπρεπεστάτῃ ὁρτὴν ἀνάγειν, πολλοὺς κατεστρέψατο τῶν τὸ πεδίον νεμομένων καὶ τοὺς προσωτέρω οἰκημένους· ὥστ' εἰ διαιρέοιο ὡς πολλάκις στρατεύονται οἱ Ἀστέκοι οὐδενὸς ἄλλου εἵνεκα, εἰ μὴ ἄγρης ἀνθρώπων ἐπὶ θυσίῃσι, οὐκ ἂν ἁμάρτοις γνώμης· πυνθανόμενος γὰρ εὑρίσκω οὐδὲν ἔθνος ὁμοίως θεοσεβές ἐὸν τῷ Ἀστέκῳ· τοὺς γὰρ θεοὺς καὶ περισσεύονται ἱλασκόμενοι, ἄλλας τε θρησκηΐας ἐπιτελεόυσι μυρίας ὡς εἰπεῖν λόγῳ· ἱρὸν δὲ ἔτος νομίζουσι κατ' ὃ τὰς θυσίας ποιέονται· οἱ γὰρ ἱρέες κάρτα εἰσὶ συχνοί, ὥστε λέγεται ἐν τῇ πόλι γενέσθαι πεντακισχιλίους τοῦ μεγαλοῦ ἱροῦ μελεδωνοὺς ἐόντας· αὐτοὺς δὲ σφέας διεδάσαντο, ἄλλους ἐς ἄλλας θρησκηΐας· τῶν τοῖσι μὲν ἀποδέδεκται τῶν τε χόρων ἐπιμέλειαν ποιέεσθαι καὶ πανηγυρίων εἶναι ἐπιστάτας, τοῖσι δὲ γέρας ἦν τὰ λόγια διασώζειν, καὶ γράμματα διδάσκειν, τρίτοισι δὲ τοῖσι πρεσβυτάτοισι τιμὴ τοὺς αἰχμαλώτους ἦν σφάζειν. οὕτω μὲν διαραιρημένοι ἦσαν, ἡγεμονίην δὲ πάντων εἶχον δύο ἀρχιερέες, οὐ πολλὸν λελειμμένοι τοῦ βασιλέος· ὁ δὲ καὶ αὐτὸς τῆς τιμῆς ταύτης κοτὲ μετεῖχε καὶ τότε στρατευομένῳ ἐπὶ τοὺς πλησιοχώρους Μοντεζούμῃ πάντα τε ἐχώρεε εὐτυχέως, καὶ δὴ καὶ ἐχειρώθησαν χιλιάδες πολλαί· ἔστι δέ σφι νόμος αἴσχιστος τῶν ἀκοῇ ἴδμεν· τοὺς γὰρ χειρωθέντας, ἐπεὰν θύσωσι τῷ θεῷ, ἀπ' ὧν ἔδοσαν τῷ πρῶτον ἑλόντι χρήσασθαι ὅτι ἂν οἱ ἀρέσκηται ποιεῦντι· ὁ δὲ δεκόμενος ἐπεὰν συγκαλέσῃ τοὺς προσήκοντας ἐπὶ δεῖπνον, τὸν νεκρὸν προτίθεται, οἱ δὲ παρεόντες ὁμοίως ἄνδρες τε καὶ γυναῖκες τὰ

κρέα συνενωχέονται· ποιευμένης μὲν ὦν τῆς θοίνης ταύτης ἐστὶ πολλὴ ἡ κατασκευή, τοῦτο δὲ εὕρηται πάντων μεγαλοπρεπέστατον.

Μοντεζούμεω δὲ βασιλεύσαντος καὶ ἄλλων δύο οὐκ ἐπὶ πολύ, καὶ κατεστραμμένων ἤδη σχεδὸν πάντων τῶν ἐν μέσῳ τῆς τε Ἀτλαντικῆς θαλάσσης καὶ τῆς Εἰρηνικῆς οἰκημένων (πλὴν γὰρ Τλασκαλανῶν, τοὺς ἄλλους πάντας ὑπ᾽ ἑωυτῷ εἶχε ἐς φόρου ἀπαγωγὴν καταστρεψάμενος) κατεστραμμένων δὲ τούτων τὴν βασιληΐην ἐξεδέξατο ἄλλος Μοντεζούμης τότε ἀκμάζουσαν πλούτῳ τε καὶ ἰσχύϊ· ἐθέλει δὲ τὸ οὔνομα τοῦτο σεμνοπρόσωπον λέγειν· καὶ ἦν τὰ μὲν πολεμικὰ ἄλκιμος, ἦν δὲ καὶ ἱρεύς τε καὶ τῶν θείων πρηγμάτων μελεδωνὸς ἐθελοντής· ἀτὰρ ὡς ἐς τὸν θρόνον ἐγκατέστη, τὰ ἔμπαλιν ἤρχετο ποιέων τῶν πρότερον ἐδόκεε μετὰ χεῖρας ἔχειν, ὥστε ἐπωνυμίην ἔχειν τὴν εἰρημένην. ἑωυτὸν δὲ σεμνυνόμενος, κόσμον τόνδε Μοντεζούμης ἐστὶ ὁ καταστησάμενος, τοὺς ὑπηρέτας μηκέτι ἐκ τοῦ δήμου γεγονέναι, ποιέων οὐκ ἐωθότα. ὑποχειρίων δὲ γενομένων τῶν ἄλλων, Τλασκαλανοὶ μοῦνοι ἀντέσχον ἔτι Μοντεζούμῃ καὶ πρήγματα παρεῖχον, οὖρος ἐν τῷ ἡ πόλις σφι οἰκοδόμηται τειχίσαντες· ἐπεξίοντες δὲ καὶ μαχόμενοι ὀλίγοι πρὸς πολλοὺς οὐκ ἅπαξ μοῦνον ἀλλ᾽ ἀν᾽ ἔτος, περιεγένοντο· κατὰ δὲ τὸν χρόνον τοῦτον ἄλλα τε ἐφάνη τέρατα, ἐν δὲ δὴ καὶ τὴν λίμνην λέγεται ταραχθεῖσαν δι᾽ αἰτιὴν ἀφανέα ὑπόβρυχα ποιέεσθαι μοῖράν τινα τῆς πόλιος· μετὰ δὲ πυργὸς τοῦ μεγίστου νηοῦ ἐξ αὐτομάτου κατεκαίετο, οὐδὲ πᾶσαν προθυμίην παρεχομένων οἷόν τε ἦν τὸ πῦρ σβεννύναι· ἀστέρες δὲ λαμπροὶ καὶ φῶς τρόπον πυραμίδος ἀνιστάμενον ἐξ ἀνατέλλοντος ἡλίου ἐθωυμάσθη τε καὶ ἐπὶ συντυχίῃ ἐφαίνετο προσημαίνειν· ἀπικόμενος δὲ Μοντεζούμης ἐς τὸν βασιλεὰ τῶν Τεσκουκανῶν καὶ ὑπερθέμενος τοὺς οἰωνοὺς εἴρετο τῇ οἱ ἔκρινε αὐτούς· ὁ δὲ εἶπε λέγων ὡς τελευτῆσαι χρῆν τὴν βασιληΐην. ἦν γάρ κοτε δαίμων τις ἐπιχώριος εἴ

τε ἐγένετό τις Κεξαλκοάτλης ἄνθρωπος, τόν φασι τοῦ ἠέρος ἄρχειν· τοῦτον νομίζουσι πρῶτον εἶναι τὸν καταδέξαντα γῆν τε ἀροῦν καὶ χαλκῷ χρήσασθαι· εἶναι γὰρ πρότερον οὔτε ἀρηρομένον οὐδὲν οὔτε πόλιν οἰκεομένην· τούτου δὲ ζώοντος τὴν χώρην πάντα φορέειν αὐτόματον, καὶ ἀπόζειν θεσπέσιον ὡς ἡδὺ, ὀρνέων τε πάντα εὐπορέειν· μετὰ δὲ ἐνσκηψάσης ἐκ θεοῦ μήνιος αὐτὸν ἐκ τῆς χώρης ἐκπεσέειν, ἀποπλώοντα δὲ ἐπὶ πλοίῳ θείῳ ἐξ ὄφιος δέρματος πεποιημένῳ λέγειν ὡς ὀπίσω ἐλεύσεται ἢ αὐτὸς ἢ καὶ οἱ ἔκγονοι αὐτοῦ· τὸ μέν νυν εἶναι γνώμη πλείστη ἐγένετο ὡς ὁ χρόνος ἤδη ἐξήκει καὶ ὑπονοστήσει σὺν χειρὶ πολλῇ ἐς τήν ἑωυτοῦ· εἰ μὲν δή ταῦτα ἀληθέα λέγεται, χαιρέτω· οὐ γὰρ οὐδὲ ταύτῃ προστίθεμαι ὡς πιστεύων τοῖσι λογίοισι, ἀπηγήσομαι δὲ οἷα ἐγένετο τὰ κατελεχθέντα.

Τῷ δὴ βασιλέϊ μαθόντι τὸ χρηστήριον ἐπιτελεύμενον ἀγγέλλουσι ἄνδρες τοῖσι τοῦτο προσετέτακτο ὡς ἥκουσι ξεῖνοι ἀλλόγλωσσοι ἀπὸ θαλάσσης δεηθέντες αὐτῷ ἐς λόγους ἀπικέσθαι· καὶ δὴ καὶ πρὸ τούτων ἀναγκαίη κατελελαβήκεε ἄνδρας Ἴβηρας κατὰ δούλων ἄγρην ἀποπλώοντας ἀπενειχθῆναι ἐς τὴν πρὸς ἑσπέρης, ἐκβάντας δὲ, οἷά τε τῆς χώρης ἀκηράτου ἐούσης πολλὸν κερδῆσαι ὥστε ἵμερον ἐμποιῆσαι τοῖσι πολιήτῃσι· πρὸς ὧν δὴ ταῦτα Μοντεζούμης δείσας μή τί οἱ θεήλατον γένηται ἐκ τῶν ξείνων, ἄνδρας ἔστελλε ἐντειλάμενος πάντα οἱ ἀγγέλλειν· τούτων δὲ τῶν ἀγγέλων ἕκαστος ἐπεὰν κατανύσῃ τὸν προκείμενον ἑωυτῷ δρόμον, τοῦτο δέ ἐστι στάδιοι πεντήκοντα, ὁ δὲ πρῶτος δραμὼν τὸ βιβλίον παραδιδοῖ τῷ δευτέρῳ, ὁ δὲ τῷ τρίτῳ· ἅτε δὲ σπουδῇ χρεωμένων ὁδὸς ἡμερησίη ἀνήκει ἐς παρασάγγας πεντήκοντα καὶ τέσσερας· ἐσθῆτα δὲ ἕκαστος ἐπείνυται τοῖσι ἂν ἀγγέλλῃ κατήκουσαν.

Κορτήσιος μὲν ὦν ἐπειδὴ ἀποβὰς ἐς τῆς Μεσσικῆς τὴν Χερσόνησον καλευμένην τούς τε ἐπιχω-

ρίους καὶ τοὺς τούτων προσεχέας παρεστήσατο, δῶρα ἐλάμβανε παρθένους εἴκοσι κειμήλιά τε πολλά· ἐκ δὲ τῶν παρθένων ἦν μία τῆς δεῖ μνησθῆναι· ἦν γὰρ γένος μὲν Ἀστέκη, ἀποθανόντος δὲ τοῦ πατρὸς μήτηρ ἡ αὐτῆς ἀνδρὶ δευτέρῳ συνοικέει, καὶ τὴν παῖδα, φαμένη δῆθεν ὡς ἡ παῖς ἀπόλωλε, ἀποδιδοῖ ἐπ' ἐξαγωγῇ, ἵνα οἱ οἱ ἐσύστερον γενόμενοι παῖδες κληρονόμοι ἔωσι· ἀποδημέουσα δὲ ἐπὶ συχνὸν χρόνον ἐν τῇ Χερσονήσῳ ἔμαθε τὴν ἐπιχωρίην φωνὴν, μαθοῦσα δὲ, οὐ γάρ κως ἐγένετο λήθη τῆς γλώσσης τῇ πρὶν ἐχρᾶτο, ἑρμήνευσε ἐν μέσῳ τῶν τε Ἀστέκων καὶ Ἴβηρος αἰχμαλώτου ἐν τῇ Χερσονήσῳ γενομένου, μετὰ δὲ καὶ αὐτὴ τὴν Ἰβήρων γλῶσσαν ἐξέμαθέ κῃ· πρὸς δὲ εὐειδὴς ἐοῦσα, παλλακὴ ἐγεγόνεε Κορτησίου· οὔνομα δέ οἱ ἦν Μαρίνη. ἡ μὲν ὦν ἐν ἑρμηνέος λόγῳ ἐγένετο, οἱ δὲ ἀναγαγόντες ἀπέπλωον, καὶ προσχόντες κατέλεξαν τοῖσι ἐπιχωρίοισι ὡς οὐκ ἐπὶ δηλήσι ἥκουσι, ἀλλὰ θεωρίης τε εἵνεκα καὶ ἐπιμιξίης, διδόντες δῶρα οὐκ ἀξιόλογα, λαβόντες δὲ πολλαπλήσια· τῇ δὲ ὑστεραίῃ σφέας ἐδέκετο ὁ ὕπαρχος, θωυμάσας τε τὴν σκευὴν τῶν ξείνων καὶ ὡς δυνέαται βροντὴν δὴ καὶ κεραυνὸν ἀπεῖναι· πρὸς δὴ ταῦτα γραφὴν ποιησάμενος ἀτρεκέως δείκνυσι τὰ γενόμενα καὶ τὴν φύσιν αὐτῶν, πέμψας ἐς βασιλέα· οἱ δὲ ἄγγελοι καταβάντες δῶρα ἔφερον πολυτελέα, ἅτε ἐόντων Ἀστέκοισι ἐν τῇ χώρῃ χρυσέων καὶ ἀργυρέων μετάλλων, οὐ μέντοι ἔφασκον βασιλέα καταβήσεσθαι· ταῦτα λέγοντες οὐκ ἔπειθον Κορτήσιον, μετὰ δὲ τοῦ ὑπάρχου ἀγορῆς ἐξέργοντος, ἐπανιστέαται οἱ ἄνδρες πολλοὶ, βουλόμενοι νοστέειν· ὁ δὲ ὡς ἐνδοὺς, ἁλίην ἐποίησε, ἐκέλευσέ τε πάντα τινὰ παρασκευάζεσθαι ὡς ἀναξόμενον· οἱ δὲ αἰσχυνόμενοι, καὶ πλεόνων μεῖναι αἱρεομένων, ἐπέπαυντο, καὶ κτισθείσης πόλιος, τῇ οὔνομα ἐτέθη πόλις τοῦ ἀληθινοῦ σταυροῦ, ἐξῆλθον ἐπικαλευμένων Τοτονάκων ἐπὶ φιλίῃ τε

καὶ συμμαχίῃ· ἐνθαῦτα ἐπεὶ βουλευσαμένοισι ἔδοξέ σφισι τὰ ἀθέμιτα ἱρὰ καταπαῦσαι, δρόμῳ ἰόντες ἐπὶ τοὺς νηοὺς τὰ ἀγάλματα ἐξ ἑδρῶν ἀνασπάσαντες συνέκλασαν, τῶν ἱρέων οἰμωγῇ ἀπλέτῳ χρεωμένων· διὸ, γενομένου οὐδενὸς θεηλάτου μᾶλλον ἐσέβοντο ὑπὸ τῶν ἐπιχωρίων· μετὰ δὲ ταῦτα, τῶν νεῶν μίαν μὲν ἔπεμψε Κορτήσιος ἀγγελέουσαν τῷ βασιλεΐ τῶν Ἰβήρων, τὰς δὲ ἄλλας πάσας ἀπέβαλε· οἱ δὲ στρατιῶται ὡς ἠπιστέατο τὴν συμφορὴν, πρῶτον μὲν ὡρμήατο ὡς καταλεύσοντες, μετὰ δὲ πρηϋνόμενοι ἐς τὴν πολεμίην ἤϊσαν προθύμως.

Ἐνθεῦτεν δὴ ὁρμεώμενοι ἐστρατεύοντο ἐπὶ τὴν Μεσσικῶνα ὁπλῖται τετρακόσιοι, ἱππέες δὲ πεντεκαίδεκα, Τοτονάκων δὲ μύριοι καὶ τρισχίλιοι, δοῦλοι δὲ χίλιοι· μεσοῦντες δὲ ἤδη τῆς ἀναβάσιος ἀπίκοντο ἐς τὴν χώρην τῶν Τλασκαλανῶν, μαχιμωτάτων ἐόντων· ἐς τούτους πρότερον ἦλθον κήρυκες τῶν Ἀστέκων γῆν τε καὶ ὕδωρ αἰτέοντες, τοῖσι ἀπεκρίναντο οἱ Τλασκαλανοὶ· φόρον μὲν, ἄνδρες Ἀστέκοι, οὔτε ἡμεῖς οὔτε πρόγονοί ποτε ἀπαγίνεον, οὐδὲ νῦν προσκυνεόμεν τὸ κράτος ὑμέων· εἰ δὲ τὴν ἡμετέρην βούλεσθε σίνεσθαι, εὖ ἴστε ὡς οὐ περιοψόμεθα, οὐδὲ τὰς ψυχὰς ἀξιώσομεν προτιμᾶν τῆς ἐλευθερίης· οἱ μὲν οὕτω ἀμείψαντο, μετὰ δὲ πολιορκίης καταστάσης ἰσχυρῆς οὐδὲ ἐσενηνεγμένου διὰ πολλῶν ἐτεῶν οὐδενὸς, ἄλλων τε ἐδωδίμων καὶ δὴ καὶ ἁλὸς ἐξέργοντο· οὗτοι μέν νυν οὕτω ἀντέσχον, νῦν δὲ ἐπιόντος τοῦ Ἴβηρος συνεβουλεύσαντο εἴτε σφέας δέξονται ὡς συμμάχους ἐόντας εἴτε συμβαλέουσι ἐντεταμένως· βουλευομένοισί δέ σφισι ἔδοξε ἐς μάχην ἀντιάσασθαι πάντας μὲν οὔ, οὐ γὰρ ὦν ἐδόκεε ἐπ᾿ ὁρμῇ γε μιῇ πάντα τὰ ἑωυτῶν πρήγματα ἐς πεῖραν ἐλθεῖν, μούνους δὲ τοὺς ἐκ μιῆς τῶν γενεῶν· ἔσσον δὲ ἐχόντων τῶν ἐξαραιρημένων, ἕξειν τι τοὺς ἄλλους ἀπολογήσασθαι· ἐνῆγε δὲ μάλιστα ὁ στρατηγὸς τῆς γενεῆς ταύτης, οὐκ ἐῶν τοῖσι ἐπιοῦσι

εἴκειν ἀμαχητί· οὐ γὰρ ἥκειν τὸν Ἴβηρα μᾶλλον ἐπ᾽ Ἀστέκους ἢ οὐ καὶ ἐπ᾽ ἑωυτούς, ἀλλὰ πάντα βουλόμενον ὑπ᾽ ἑωυτῷ ποιέεσθαι· ταῦτα ἀκούσαντες οἱ Τλασκαλανοὶ τὴν γνώμην ἐδέκοντο, δεξάμενοι δὲ καὶ παρεσκευάζοντο ὡς ἀντιάσοντες· ἐλαύνων δὲ μετὰ ταῦτα ὁ Κορτήσιος καὶ κατασκόπους προπέμψας ἐνέκυρσέ κως μοίρῃ οὐ πολλῇ τῶν πολεμίων, χειρῶν δὲ ἐς νόμον ἐλθὼν ἐπεί τε ἔτραπέ σφεας οὐκ ὀλίγον, αὐτίκα ὁρᾷ πολλῷ πλεῦνας τοῖσι ἀνδράσι τιμωρέοντας· πρὸς ταῦτα ἀρρωδήσας, τὴν ἵππον μεταπέμπεται, οἱ δὲ ἱππόται σφι δεινὸν παρείχοντο φόβον, οἷά τε οὐ πεπειρημένοισι τοῦ θηρίου· οὐκ ὦν δὴ ὑπεχώρησαν οἱ Τλασκαλανοί, ἀλλὰ ἀπιέντες τοὺς ὀϊστούς, δρόμῳ ἐφέροντο ἐπὶ τοὺς Ἴβηρας, παντοίως προσβάλλοντες καὶ κατέλκοντες τοὺς ἐπ᾽ ἵππων ἐόντας· οὐ μέντοι ἐδυνέατο κατελεῖν, ἀλλὰ ταραχθέντες ὑπό τε πλήθεος τῶν σφετερῶν καὶ ἐκπλαγέντες τῇ ἀηθίῃ τοῦ πρήγματος, οὐκ ἤθελον τῇ τάξι ἐμμένειν· ὡς δὲ λόγῳ εἰπεῖν, δύο ἦσαν τοῖσι Ἴβηρσί τε σύμμαχα καὶ τοῖσι ἐπιχωρίοισι ἀντίξοα, τῶν τε μηχανῶν ἡ φύσις καὶ τῶν ἵππων τὸ εἶδος· ἅ τε γὰρ οὔτε ἀκούσαντες πρότερον ἦχος τοιοῦτον, οὔτε νῦν ἰδόντες τὸ βέλος ὅκως ἔλθοι, ἐταράσσοντό τε μεγάλως καὶ ἐν ἀπορίῃσι εἴχοντο τῇ ἔδεε τραπέσθαι· ἔνθα δὴ πιεζόμενοι ἀπαλλάσσοντο, ὁ δὲ ἡσθεὶς τῇ ἀπαλλαγῇ ἅμα μὲν ἐδίζητο χῶρον ἐπιτηδεώτερον ἐν τῷ σταθμὸν ποιήσεται, ἅμα δὲ ἐλθόντων ἀγγέλων ἀπὸ τῶν ἐναντίων, τῇ ἀγγελίῃ ἀπιστέων φυλάκους ἐστήσατο κύκλῳ περὶ τὸ στράτευμα· ταῦτα ἐποίησε, πολλὰς ἔχων ἐλπίδας σφέας νυκτὸς ἐπιχείρησιν ποιήσεσθαι· οἱ δὲ πρὸ τούτου γε οὐδαμῶς ἐδικαίευν νυκτὸς στρατεύεσθαι, οὐδὲ ἂν τότε, ὡς ἐμοὶ δοκέειν, εἰ μὴ ἐξ Ἰβήρων μαθόντες. τῇ δὲ ὑστεραίῃ ἐγίνετο συμβολὴ πολλὸν καρτερωτέρη, ὑπαντιαζόντων οἱ μυριάδων τριῶν καὶ πλεόνων, βοῇ τε καὶ πατάγῳ χρεωμένων· ὡς δὲ συνέμισγον τοῖσι Ἴβηρσι πολλοὺς μὲν ἐτρωμάτιζον,

ἦσαν γάρ ἐκεῖνοι οὐ πλεῦνες τετρακοσίων, ἕνα δὲ καὶ τῶν ἵππων κατ' ὧν εἷλον, ἑλόντες δὲ τῇ ὑστεραίῃ ἔπεμπον ἐς τὰς πόλιας ὡς ἀξιοθέητον εὄντα· ἐπεί τε δὲ σφέων πολλοὶ ἔπιπτον, οὔτε ἐς πλέον ἔπρηξαν, ἀπήλαυνον, ἐτελεύτα δὲ ἡ μάχη ἐς λίχνων ἀφὰς· ἐπὶ τοσοῦτο γὰρ λέγεται ἑλκῦσαι τὴν σύστασιν· Κορτήσιος δὲ πορευόμενος ἐπεί τε τῆς διασφάγος ἔξω ἦν, καὶ ἐς κορυφὴν τοῦ οὔρεος ἀπίκετο, ἐνθαῦτα σταθμὸν ἐποιήσατο· οἱ δὲ ἐναντίοι, καίπερ μεγάλως προσπταίσαντες, τὸ τρῶμα ἀνέλαβόν τε καὶ ἀνεμαχέσαντο· ὡς δέ σφι ἔδοξε ἄλλην ἐπεξευρεῖν προσβολὴν ἐβουλεύσαντο ἐπεὰν τάχιστα νὺξ ἐπέλθῃ προσβαλεῖν τῷ στρατοπέδῳ· οἱ δὲ Ἴβηρες, οὐ γάρ κώς σφεας ἐλάνθανε ταῦτα ἐπιβουλευόμενα, παρεσκευάδατο, σιγῇ μὲν μένοντες τοὺς ἐπιόντας, ἐς ὅ ἂν ἀγχοῦ εἴησαν ἀλλήλων, ἔπειτεν δὲ ἐξαπιναίως ἐμπεσόντες, πάντας ὁμοίως κατεφόνευσαν· ταύτης ὦν τῆς συμφορῆς γενομένης, ἐπιστάμενοι ὡς οὐδαμῶς ἔστι περιγενέσθαι τῶν ξείνων, ὡρμέατο μᾶλλον ἐς εἰρήνην καὶ ὁμολογίην· πρὸς τούτους ὦν πρήσσοντας ὅκως γινοίατο σπονδαὶ, Κορτησίῳ ἔδοξε συναιχμίην συντίθεσθαι, ἐπιλεξαμένῳ εἴ κως συγκύψαντες τωὐτὸ φρονέοιεν, ὡς οὐδεὶς τῶν ἄλλων ἄξιος ἔσται αὐτοῖσι συμβαλέειν· καὶ τοῖσι μὲν ἐδέδοκτο συμμαχίην ποιέεσθαι, μετὰ δὲ, ἀπίκοντο ἐς τὴν Ἱρήν πόλιν, ἐς τὴν ὁμοίως πάντες ἱκνεῦνται τὸν θεὸν τιμήσοντες· ἔνεστι δὲ καὶ ἐς ἐμὲ περιεοῦσα πυραμὶς τῶν ἐν Αἰγύπτῳ μέζων, οὐ μέντοι ὕψος ἐστὶ τοσοῦτο· τῆς ἐστὶ πανταχῇ μέτωπον ἕκαστον πεντεκαίδεκα πλέθρα, ἐούσης τετραγώνου, καὶ ὕψος ὀλίγῳ ἔλασσον δυοῖν πλέθροιν, πλίνθους δὲ ἐπιπολῆς ἔχουσα ἁρμοσμένας τὰ μάλιστα· τοῦτο μὲν οὕτω ἐδέδμητο, τὸ δὲ ἐπ' ἐμεῦ ἅτε οὐδενὸς χρεωμένου, ἐπικνέεται χρῆμα μέγα ἀνθέων τε καὶ δενδρίων ὥστε ἀφανὲς γενέσθαι τὸ εἶδος τῆς πυραμίδος· ἐς τὴν πόλιν ταύτην ἐσελθόντες τὰ μὲν πρῶτα ἦσαν οἱ Ἴβηρες ἐν λόγῳ τε καὶ θωΰματι, ἔπειτεν εἴ τε

ἐντειλαμένου τοῦ Μοντεζούμεω, εἴ τε καὶ ὅτι ἔδεε κακά σφι γενέσθαι ἅ τε ἀγνωμοσύνῃ χρεωμένοισι περὶ τὰ θεῖα, ἐπεβουλεύσαντο οἱ πολιῆται τοὺς ἀμφὶ Κορτήσιον πάντας ἀϊστῶσαι· καὶ τῆς ἐπιβουλῆς ταύτης ἐπαΐστου γενομένης, ὡς μὲν φάτις ἔχει, γυναικός τευ τῶν δοκίμων ὑποθεμένης τῇ Μαρίνῃ, ὁ Κορτήσιος προσποιεύμενος μηδὲν εἰδέναι, τοῦτο μὲν παραρτεέται ὡς δεξόμενος τὴν ἐπιχείρησιν, τοῦτο δὲ τοὺς μάλιστα ἐν τέλεϊ συνειλήσας ὡς ἑξακισχιλίους καταφονεύει· πυνθανόμενοι δὲ ταῦτα οἱ Ἀστέκοι καταῤῥωδήσαντες οἱ μὲν ἔδοσαν σφέας αὐτοὺς τῷ στρατηγῷ, οἱ δὲ οὐκ ἔφασαν ἀπὸ βασίλἔος ἀποστήσεσθαι· Ο δὲ Μοντεζούμης ἀγγέλους ἔπεμψε δῶρα διδόντας, ἅμα δὲ λέγοντας. Ἔπεμψε ἡμέας βασιλεὺς ὁ Ἀστέκων συλλυπηθησομένους ὑμῖν φόνον τὸν ἔρραψαν οἱ πολιῆται, χαίρει δὲ τούτων οὕτω ἀπαλλαξάντων, τίσιν διδόντων ἀδικίης τὴν ὑπῆρξαν ἔρδοντες· φησὶ δὲ ἑωυτῷ καὶ ἐκείνοισι οὐδὲν εἶναι πρῆγμα, οἱ δὲ τῇσι ἑωυτῶν κεφαλῇσι ἀναμάξαντες φέρουσι· δῶρα δὲ ἔφερον, οὐ τότε δὴ πρῶτα ἐνείκαντες, ἀλλὰ πολλάκις, χρυσὸν ἄπλετον καὶ εἵματα ἀπὸ ξύλου πεποιημένα· εἰρίοισι γὰρ ἀπὸ ξύλου χρέωνται, τὰ φορμοῦ τρόπον καταπλέξαντες ὡς θώρηκα ἐνδύνουσι. ὁ μέν νυν δειμαίνων ταῦτα ἔστελλε, ὁ δὲ Κορτήσιος εὐθὺς ἀπελαύνει πρὸς τὰ ἤθεα τῶν Ἀστέκων.

Ἦν δὲ ταῦτα κατὰ εἴρηται χώρη ἄπεδος κοίλη ἐοῦσα· πορευομένῳ δὲ οἱ οὐδεὶς ἀντιώθη ἐς μάχην, καίπερ εὐπετέϊ ἐόντι χειρωθῆναι ἐν τῇσι διεξόδοισι· ἡ δὲ πόλις τῶν Ἀστέκων κεέται ὧδε· ἔστι λίμνη μεγάλη, πόλιν κύκλῳ συγκληΐουσα, ἔσοδοι δὲ γίνονται χώματα ἐκ τῆς ἠπείρου τρία, τὸ μὲν πρὸς βορέεω ἔσεχον, τὸ δὲ πρὸς μεσαμβρίης, τὸ δὲ τρίτον ἀπ' ἑσπέρης πολλὸν βραχύτερον τῶν ἑτέρων ἐόν· ἐδεδμήατο δὲ ἀπὸ λίθων τέλματι εὖ ἁρμοσμένων, εὖρος ἔχοντα ὥστε δυώδεκα ἵππους ἐλαύνοντας ὁμοῦ ἰέναι· ἐν δὲ τῇ λίμνῃ βαρίδες πολλαὶ ἐνῆσαν ἢ ἡδονῆς εἵνεκα ἢ ἀνδρῶν ἁλιέων χρεωμέ-

νων· καὶ πόλιες οὐκ ὀλίγαι κύκλῳ ἦσαν περὶ τὴν λίμνην ἐληλαμέναι, τῶν μὲν μετεξέτεραι ὡς προάστεια ἦσαν, αἱ δὲ ἐλεύθεραί κως ὑπῆρχον κατὰ συμμαχίην· ἦν δὲ καὶ λίμνη ἄλλη οὐκ ἐλάσσων, τὴν δεῖ διαπεραιοῦσθαι πρὶν ἢ ἐπὶ τὴν Μεσσικῶνα ἀπικέσθαι· διὰ δὲ καὶ ταύτης τείνουσι ὁδοὶ λίθιναι, γεφύρας ἔχουσαι, τὸν ὕδατος εἵνεκα ὡς πληθῦον μηδὲν σινέηται· λελυμένων δὲ τούτων, οὐδαμῶς ἔστι ἐσελθεῖν ἐς τὴν Μεσσικῶνα οὐδὲ ἐξελθεῖν, ἀεκόντων τῶν ἐπιχωρίων, εἰ μὴ πλοῖα πάρεστι.

Ἐς τοῦτο ὦν τὸ πεδίον παρεγένετο ὁ στόλος· καὶ διεξελθόντες τὴν ἐσβολὴν ἀφύλακτον ἐοῦσαν, ἐθηεῦντο πάντα τά παρεόντα· ὡς δὲ ἐγὼ νομίζω, ἡδονὴ ἰδέσθαι οὐδὲν τούτων μᾶλλον, ὄπισθε μὲν ἀπολιπόντας οὔρεα χιόνι συνηρεφέα πρόσθεν δὲ τῇ μὲν ἴδας τε παντοίας ἰδόντας καὶ λήϊον κάλλιστον καὶ βαθύτατον, τῇ δὲ λίμνας μεγίστας πόλισι κεκοσμημένας· ἐπεί τε δὲ ταῦτα θηεύμενοι ἐγένοντο πληρέες, κατέβαινον ἐς τὰ βασιλήϊα, οὐ μέντοι γε αὐτίκα παρῆσαν, ἐπὶ χρόνον δὲ ἀναγκαίῃ ἐξέργονται προϊέναι, προσκυνεύντων τῶν δοκίμων καὶ πρήγματα παρεχομένου τοῦ ὄχλου θέης εἵνεκα· τέλος δὴ ὦν ἀπικομένοισι ἀποδέδεκταί σφι δώματα τὰ τοῦ πρότερον βασιλεύσαντος, μεγάλα ἐόντα, νείμαντος αὐτοῦ τοῦ βασιλέος, ἅμα δὲ δῶρα διδόντος· τῇ δὲ ὑστεραίῃ Κορτήσιος ἐλθὼν τῷ βασιλεϊ ἐς λόγους ἐδέετο αὐτὸν τὸ λοιπὸν θεῶν τῶν ἐνόμιζε οὐδεμίην ὤρην ποιέεσθαι, ἀλλὰ θεῷ τῷ τῶν Χριστιανῶν χρέεσθαι, μεμφόμενος τῇ σκαιότητι καὶ πικρότητι τῶν ἐπιχωρίων δαιμόνων· ταῦτα λέγων τῷ Μοντεζούμῃ οὔ κως ἐχαρίζετο, ὁ δὲ ὑπεὶς τῆς ὀργῆς τὴν εἶχε ἀμείβεται τοισίδε· Οὐδὲν θώϋμα, εἴ σοι μὲν χρηστὸς εἶναι φαίνεται θεὸς τὸν νομίζεις, ὃς καὶ συνδιαφέρει τὸν πόλεμον· τὸν σὸν δὲ λόγον ἀκούσας ἐμνήσθην κως τούτων τὰ πρὶν ἐξέμαθον· ἡμεῖς γὰρ οὐδαμῶς αὐτόχθονες, ἀλλ' ἐπήλυδές εἰμεν, οἰκιστὴς δὲ ἡμῖν γέγονε θεὸς· τὸν δὴ λέγουσι ἱρέες πάλαι ἀποδημήσαντα νῦν ἤδη χρεὼν εἶναι κατίεναι, σὺν τῷ ἐῴῳ

στράτῳ· πρὸς ὧν ταῦτα ἐσταθμωσάμην ἔς σε ἔχειν τοῦτο τὸ χρηστήριον, νῦν δὲ μαθὼν τὸ ἐὸν σύνοιδά σοι θνητῷ ἐόντι· τάχα δ' ἂν καὶ ἐμεῦ πέρι σὺ ἀκούσειας ὡς θεός εἰμι, ἔχων δώματα χρύσεά τε καὶ ἀργύρεα· τοῦτο δὲ οὐκ ὀρθῶς λέγεται· ἀρχὴν δὲ τὴν ἔχω ἐν χερσὶ, ταύτην ἔχω ἐπιτροπαίην ἐκ τοῦ σοῦ δεσπότεω· σὺ δὲ ἐν τοῖσι σεωυτοῦ οἰκέεις, ἐμὲ ἔχων ἐν πάντι πρήγματι πειθόμενον.

Ὁ δὲ Κορτήσιος ἐπιλεξάμενος ὡς οὐδὲν οἱ χωρέει τούτων τὰ νοέων ἐληλύθεε, βασιλέα συλλαβὼν παρ' ἑωυτῷ εἶχε ἐν φυλακῇ· ταῦτα ποιησάμενος αὐτὸς εἶχε τὸ πᾶν κράτος· μετὰ δὲ ταῦτα ἐξελθὼν πρὸς τὸν αἰγιαλὸν ἐπ' ἄνδρας νεωστὶ ἀπικομένους, τήν τε πόλιν καὶ τὸν Μοντεζούμην ἐπιτρέπει τῷ μαχιμωτάτῳ τῶν ἀμφὶ ἑωυτὸν· παραλαβὼν δὲ τοὺς κατιόντας, οἳ δὴ τὸ πρῶτον ὡρμέατο ἐπ' αὐτὸν στρατεύεσθαι, ἀναχωρέει, πολλαπλησίους ἔχων ἢ τὸ πρὶν, ἐς τὴν Μεσσικῶνα· ἐνθαῦτα τοὺς Ἀστέκους εὑρίσκει τὰ ἔμπαλιν ποιεῦντας τῶν ἐδόκεε, περικατημένους τε τὰ βασιλήϊα ἐν τοῖσι ἐνεστρατοπεδεύοντο οἱ Ἴβηρες καὶ οἱ σύμμαχοι, καὶ δὴ καὶ Μοντεζούμης, καὶ πάντως πειρεωμένους ἑλεῖν· ὁ γὰρ ἐπίτροπος τὸν κατεστήσατο στρατηγὸν εἶναι ἀγνωμοσύνῃ χρεώμενος οὐδὲν ἔσεβε τὰ θεῖα, ἀλλ' ἐν ὀλιγωρίῃ εἶχε, καὶ τοὺς μάλιστα ἐν αἴνῃ ἐόντας τῶν Ἀστέκων συλλέξας ἐν χωρίῳ οὐδεμίαν ἔξοδον ἔχοντι κατέκτεινε· οἱ δὲ ἄλλοι ἐτιμώρεον σὺν χειρὶ μεγάλῃ πλήθεος. ταῦτα πυθόμενος ὁ Κορτήσιος περιημεκτήσας τῇ συμφορῇ τοῦτο μὲν ἐμέμψατο τῷ βασιλέϊ ὡς αἰτίην ἔχοντι τῆς προσβολῆς ταύτης, τοῦτο δὲ τοὺς ἑωυτοῦ ἐξαγαγὼν τροπὴν ἐποιέετο τῶν πολιορκεόντων· ὡς δὲ πολλὸν τοῦτο ἐγένετο καὶ οὐκ ἐπαύετο, ἐλθὼν Κορτήσιος παρὰ τὸν Μοντεζούμην ἔλεγε τάδε· Δαιμόνιε ἀνδρῶν, οὐ παύσονται Ἀστέκοι, ὡς οἴκασι, πρήγματα ἡμῖν παρέχοντες· κῶς δ' ἄνευ τῶν σῶν βουλευμάτων τοιοῦτο πεπρήχθη; ἀρρωδέων δ' ὁ βασιλεὺς πρὸς ταῦτα, εἷμα μεγαλοπρεπὲς περιβαλόμενος, τῷ δήμῳ ἐπέπλησσε τὰ

ἐποίεον, οὐκ ἐῶν συμβαλέειν, οἱ δὲ ὑπὸ τῶν παρεόντων πρηγμάτων παραχρεωμενοί τε καὶ ἀτέοντες αὐτὸν ἔτυψαν βαλλόμενοι· ὁ δὲ ἐπ' ἀναξίῃ συμφορῇ νομίσας ὅτι οὐκ ἂν ἔτι βιώσιμα εἴη, οὕτω ἐτελεύτα· οἱ δὲ Ἴβηρες ἐπειδή σφι σῖτος ἐπελελοίπεε, δρησμὸν μὲν ἐβουλεύσαντο, πυθόμενοι δὲ ὡς λελυμέναι εἰσὶ αἱ γέφυραι ὑπὸ τῶν πολεμίων, ὥστε μηκέτι ὁδὸν εἶναι ἐκ τῆς πόλιος, σχεδίην ἐποιεῦντο· παρασκευασάμενοι δὲ, τὴν χρῆν μεταναείραντας ἐς τὰ ἄλλα προσθεῖναι τῆς διεξόδου διαστήματα· ἦσαν δὲ τρία, τῇ ὡρμέατο φεύγειν· νυκτὸς ὦν ἐξῆλθον· εἶχον δὲ ὡς λόγῳ εἰπεῖν χρυσόν τε καὶ ἄργυρον ἀναρίθμητον, καὶ ἄλλα τίμια, εἶχον δὲ τὰς γυναῖκας, τὰ δὲ τέκνα Μοντεζούμεω· μέχρι μέν νυν τοῦ πρώτου διαστήματος σῶοι ἐγένοντο, ἐμπαγείσης δὲ τῆς σχεδίης ὡς ἀμετάθετον εἶναι, δεινῇσι ἀπορίῃσι ἐνείχοντο· ἀλλ' ὅμως ἐπικειμένων τῶν πολεμίων κατὰ στιβον καὶ ἐπὶ πλοίων ἐπιβατευόντων, τοῦ ἔργου εἴχοντο, τὰ διαστήματα ἀναπληρώσαντες πάντα τε ὁμοίως ἐμβάλλοντες τὰ ἐξεκομίζοντο· ἐνθαῦτα ἦν ἀγὼν χαλεπώτατος τῶν ἐν τῷ πολέμῳ τούτῳ, ἅτε νυκτός τε ἐπιγενομένης καὶ ἀμφοτέρων μαχομένων προθυμότατα· ἦν δὲ ἐντεταλμένον τοῖσι πολιήτῃσι φόνον ἀπέντας τοὺς ἀπιόντας ζωγρῆσαι ὡς ἐναγέας τῷ θεῷ· καί τοι πολλοὶ ἀντεῖχον μαχόμενοι ἐς ὅ κατεκρεουργήθησαν· καὶ δὴ καὶ λέγουσι διαβάντων τῶν ἄλλων λείπεσθαι ὕστατον ἕνα μοῦνον, τοῦτον δὲ ἐμπήξαντα τὴν αἰχμὴν ἐπὶ τῷ χείλεϊ τοῦ διαστήματος, πήδημα ποιέεσθαι μέγα ὅσον δή κοτε· οὐ γὰρ ἔχουσι τοῦτό γε εἰπεῖν ἀτρεκέως· τοῦτον μὲν οὕτω διαπεφευγέναι, πολλῶν δὲ ἀποθανόντων πολλῶν δὲ ζωγρηθέντων τέλος τοὺς περιεόντας ἅμα ἡμέρῃ διαφωσκούσῃ εἶναι ἐν τῇ ἠπείρῳ· ἀλλὰ οὐδὲ ὧς ἦσαν τῆς συμφορῆς πεπαυμένοι· εἴσι δὲ ἐκεῖ χώματα αἱ πυραμίδες καλεόμεναι, οὐ πολὺ διαφέρουσαι τῶν ἐν Αἰγύπτῳ· ἐνθαῦτα τοὺς πολεμίους συμβαλόντας τε καὶ ἐπηρεάζοντας ἀπω-

σάμενοι, εἰ ὀλίγῃσι ἡμέρῃσι μόγις ἐκομίσθησαν ἐς τὴν τῶν Τλασκαλανῶν.

Ἐπισχὼν δὲ χρόνον, ὁ Κορτήσιος ἐνθεῦτεν ἐδήϊου τὴν χώρην τῶν προσεχέων ἔχθρων ἐόντων, ἐς ὃ ἀναλαβὼν τὴν κακότητα ἐσκατέβαινε ἐς τὴν κοίλην γῆν· ἐπέδρην δὲ ποιεόμενος τὴν Μεσσικῶνα πανταχόθεν ἐπεχείρησε ἑλεῖν, ὡς δὲ οὐκ ἐχώρεε, ἐν τῇ πόλι τῶν Τλασκαλανῶν ἐκέλευσε τριηρέας ναυπηγέειν· ἅτε δὲ ἐόντων προθύμων καὶ παντὸς τῶν ἐπιχωρίων ἐργαζομένου ἤνετο τὸ ἔργον· καὶ γὰρ ξύλον μὲν αὐτόθι παρῆν ἀφθόνως, τὸν δὲ σίδηρον εἶχον διασώσαντες ὅτε τὰς νέας κατέδυσαν· ποιησάμενοι δὲ οὐδένα χρόνον ἐλίνυον, στέλλοντες τὰ μέρεα κατ᾽ ἓν παρεσκευασμένα ἐπὶ τὴν λίμνην· ἐνθεῦτεν οἱ Ἴβηρες οἱ μὲν ἐπιβάται ἐόντες ἐπὶ τῶν δυώδεκα τριηρέων, οἱ δὲ κατὰ τὰ χώματα ἐπεχείρεον· τὸ μέν τοι πρῶτον οὐδέν σφι ἐχώρεε, ἀλλὰ προσέπταισαν μεγάλως· τοὺς δὲ ζωγρηθέντας, ἐόντας ἑξήκοντά κου, δήσαντες οἱ Ἀστέκοι ἔθυον, ὠρυόμενοι τε καὶ κροταλίζοντες· οἷά τε δὲ τοῦ χώρου ἐν τῷ θύουσι ὑψηλοτάτου ἐόντος, πάντα ἐγένετο φανερὰ, ὥστε οἱ Ἴβηρες ἐν ἀῤῥωδίῃ ἦσαν καὶ ἀελπτίῃ τοῦ σωθῆναι· καὶ δὴ καὶ οἱ ἱρέες θεοπρόπιον κατέλεξαν, βώσαντες ὡς ἐν ἡμέρῃσι ὀκτὼ πάντες ἀπολέονται οἱ ξεῖνοι· πρὸς τοῦτο οἱ σύμμαχοι ἐπὶ χρονὸν ἀπίστανται, καραδοκέοντες τῇ πεσέεται τὰ πρήγματα, ἰδόντες μέντοι ὡς ἐς οὐδὲν ἔρχεται τὰ λόγια, μετέβαλόν τε τὴν γνώμην καὶ συνεξεπρήξαντο τὴν ἀδικίην τὴν ὑπῆρχον οἱ Ἀστέκοι· ὡς δὲ οὐκέτι ἀντισχεῖν ἠδυνέατο οἱ πολιῆται, παρέδοσαν σφέας αὐτοὺς τῷ Κορτησίῳ· ὁ δὲ ὦν εἷλε πόλιν νεκρῶν μεστὴν, καὶ διεφθαρμένην· οὗτοι μὲν οὕτω ἐχειρώθησαν, μετὰ δὲ γενεάς οὐ μάλα πολλὰς περιῆλθε τοὺς Ἴβηρας τίσις τῶν ἠδίκησαν· ἐγένετό τε γὰρ καὶ ἐπ᾽ ἐμεῦ διετέλεε ἐοῦσα στάσις τε καὶ ταραχὴ, ἀφόρητος ὡς ἐν οὐδεμίῃ ἄλλῃ χώρῃ.